# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΘΕΟΠΡΟΜΗΤΟΡΑ ΑΝΝΑΝ

## Ψαλμὸς ρμβ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμὲ τὸ πνεῦμά μου ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα·

Γνώρισόν μοι Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου·

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με·

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Καὶ εὐθὺς ψάλλομεν·

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν
ευ λο γη με νος ο ερ χο με νος εν ο νο
μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ( Τὸ ὡς ἄνω )

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν
ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα
τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ( Τὸ ὡς ἄνω )

Εἶτα τά παρόντα Τροπάρια.

Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῇ θεοφόρῳ ἐκτενῶς νῦν προσέλθωμεν, οἱ ταπεινοὶ ὡς ἀληθῶς καὶ προσπέσωμεν, ἐν κατανύξει κράζοντες θερμῶς ἐκ ψυχῆς, Ἄννα πολυΰμνητε, σπλαχνισθεῖσα σοῖς δούλοις, πάσης ἡμᾶς λύτρωσαι, προσβολῆς ἐναντίας, καὶ ἀπειλῆς δεινῶν παντοδαπῶν εἰς σὲ γὰρ πάντες, ἀεὶ ἐγκαυχώμεθα.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν»,

Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.






## Ὁ Ν΄ ψαλμὸς χῦμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστί διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ

ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ψάλλομεν τὰς Ὠδὰς τοῦ Κανόνος τῆς Ἁγίας.

## Ὠδὴ α΄.

### Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπίβλεψον ἄνωθεν εὐμενῶς προμῆτορ Κυρίου, καὶ ἐπόμβρησον δαψιλῶς, τὰ ῥεῖθρα τοῦ θείου σου ἐλέους, τοῖς προσιοῦσι θερμῶς ἐν τῇ σκέπῃ σου.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Παθῶν ἀκαθέκτων τὴν χαλεπὴν κατεύνασον ζάλην, καὶ παντοίων ἐπιφορῶν, τὴν ῥύμην ἀνάστειλον θέοφρον, σαῖς πρὸς Θεὸν ἱεραῖς παρακλήσεσιν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Ἐν νόσοις σὲ εὕροιμεν ἰατρόν, φιλάγαθε Ἄννα, καὶ ἐν θλίψεσι πλατυσμόν, καὶ πύργον ἰσχῦος ἐν ἀνάγκαις, καὶ ἐν κινδύνοις ταχεῖαν ἀντίληψιν.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ἐπίσκεψαι Δέσποινα συμπαθῶς, τοὺς πίστει καὶ πόθῳ, σὲ ὑμνούντας ἀνελλιπῶς, καὶ πᾶσι παράσχου σωτηρίαν, καὶ φωτισμὸν καὶ εἰρήνην καὶ ἔλεος.

Ὠδὴ γ΄.

Ἦχος πλ. δ΄.

Οὐρανίας ἁψῖδος.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Συμφορῶν καὶ κινδύνων, καὶ ἀναγκῶν ἔνδοξε, καὶ ἀνιαρῶν ἐπαλλήλων, καὶ περιστάσεων, πάντας διάσωσον, τούς τῷ σεπτῷ σου τεμένει, πόθῳ προσεδρεύοντας, καὶ σὲ γεραίροντας.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Ἐξ ἐφόδου παντοίας, βαρβαρικῆς πάνσεμνε καὶ δαιμονικῆς ἐπηρείας, καὶ ἐπιθέσεως, κακοποιούντων ἀνδρῶν, ῥῦσαι τὴν ποίμνην σου ταύτην, τὴν ἐκ διαθέσεως, σὲ μεγαλύνουσαν.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Νοσημάτων παντοίων καὶ ἀλγεινῶν λύτρωσαι, τοὺς εἰλικρινῶς αἰτουμένους, τὴν σήν ἀντίληψιν, Ἄννα φιλεύσπλαγχνε, ὅσα γὰρ θέλεις ἀνύεις, ὡς προμήτωρ ἔνθεος, τοῦ Παντοκράτορος.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ἡ ἐλπὶς ἡ βεβαία, τῶν γηγενῶν Ἄχραντε, καὶ ἡ ὀξυτάτη καὶ μόνη ἡμῶν βοήθεια, ῥῦσαι δεόμεθα, τῆς πολυπλόκου κακίας, τοῦ δολίου δράκοντος, τοὺς σὲ δοξάζοντας.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σοῦ σῶφρον Ἄννα, ὅτι πάντες πρὸς σὲ θερμῶς, ἀεὶ καταφεύγομεν, ὡς ἔνθεον πρὸς Θεὸν ἡμῶν πρέσβυν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβείαν τὴν σήν, ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦντες ἀεί, οἱ δοῦλοί σου πανεύφημε, ἐκτενῶς βοῶμέν σοι, θεοδόξαστε Ἄννα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη προμήτωρ τοῦ ποιήσαντος.

Ὠδὴ δ΄.

Ἦχος πλ. δ΄

Εἰσακήκοα Κύριε.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Συνεχόμενοι πάντοθεν, καὶ δεινοῖς παντοίοις κλυδωνιζόμενοι, βοηθείας τῆς σῆς τύχοιμεν, Ἄννα οἱ προστρέχοντες τῇ σκέπῃ σου.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Τάς βουλὰς διασκέδασον, τῶν ὠρυομένων κατὰ τῆς ποίμνης σου, καὶ ματαίωσον δεόμεθα, τάς αὐτῶν ἐλπίδας Ἄννα πάνσεμνε.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Μὴ παρίδῃς θεόληπτε, τοὺς προσκαλουμένους σὲ εἰς βοήθειαν, ἀλλὰ τάχυνον τοῦ ῥύσασθαι, τῆς παρενοχλούσης ἡμᾶς θλίψεως.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Συμφορῶν καὶ κακώσεων, καὶ ἐπερχομένων δεινῶν συμπτώσεων, καὶ ποικίλων παραπτώσεων, Θεοτόκε σῷζε τοὺς ὑμνούντας σέ.

## Ὠδὴ ε΄.

### Ἦχος πλ. δ΄. Φώτισον ἡμᾶς

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Ἴασαι ἡμῶν, τῶν σωμάτων τὰ συντρίμματα, καὶ τοῦ νοὸς τάς ἐκτροπὰς ἀγαθή, καὶ διανοίας διασκέδασον τὴν ζόφωσιν.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Αἴτησαι ἡμῖν, ἐπταισμένων τὴν συγχώρησιν, ἐλευθερίαν πολυτρόπων δεινῶν καὶ εἰρηναίαν παμμακάριστε κατάστασιν.

Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι.

Πάσης ἀπειλῆς, καὶ παντοίας ἐλευθέρωσον, θέοφρον Ἄννα δυσχερείας ἡμᾶς, ὅπως ὑμνῶμεν ἀεὶ τὰ μεγαλεῖα σοῦ.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Πρόστηθι ἁγνή, τοῖς πιστῶς σὲ λιτανεύουσι, καὶ ἀσιγήτως σὲ γεραίρουσι, καὶ ὀρθοδόξως Θεοτόκον καταγγέλλουσιν.

## Ὠδὴ ς΄.

## Ἦχος πλ. δ΄. Τὴν δέησιν...

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Μὴ παύσῃ, ὑπὲρ ἡμῶν πρεσβεύουσα, προνοοῦσά τε ἀεὶ καὶ φρουροῦσα, πρὸς σὲ καὶ γὰρ παναοίδιμε Ἄννα, διὰ παντὸς ἀφορῶμεν οἱ δοῦλοι σοῦ· παντοίας οὖν ἐπιφοράς, ἀνωτέρους ἡμᾶς διατήρησον.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Ἐκ πάσης, ἡμᾶς ἀεὶ περίσῳζε, συνοχῆς τε καὶ παντοίας ὀδύνης, καὶ χαλεπῆς ἐλευθέρωσον βλάβης, ψυχῆς ὅμου τε καὶ σώματος ἔνδοξε, ἰσχύεις γὰρ ὡς ἀληθῶς, ὡς προμήτωρ τοῦ πάντα ἰσχύοντος.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Ἐκ σάλου τῆς τῶν παθῶν ὀχλήσεως, καὶ δεινῆς ἡμᾶς θεόληπτε Ἄννα, τῶν πονηρῶν λογισμῶν καταιγίδος, πρὸς γαληνότατον ὅρμον προσόρμισον, προνοία σου τῆς ἀγαθῆς, ἀγαθοῦ τε Δεσπότου προμήτορος.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν. Θεοτοκίον.

Ὡς πάντων τὴν δεσποτείαν ἔχουσα, οἷα μήτηρ τοῦ τῶν πάντων Δεσπότου, δίδου ἡμῖν ἐγκλημάτων τὴν λύσιν, καὶ παθημάτων Ἁγνὴ ἀπολύτρωσιν, κινδύνων τε ἀπαλλαγήν, καὶ Θεοῦ βασιλείας οἰκείωσιν.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σοῦ σῶφρον Ἄννα, ὅτι πάντες πρὸς σὲ θερμῶς ἀεὶ καταφεύγομεν, ὡς ἔνθεον πρὸς Θεὸν ἡμῶν πρέσβυν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

*εἶτα τό Κοντάκιον, ἦχος β'.*

Προστασία τῶν πιστῶν ἀκαταμάχητε, μεσιτεία πρὸς Θεὸν ἀμετακίνητε, μὴ παρίδῃς σῶν οἰκετῶν ἱκέσιον φωνήν, ἀλλ' ἐπίβλεψον ὡς συμπαθής, εἰς τὴν ταπείνωσιν ἡμῶν, τῶν πιστῶς προστρεχόντων σοι, σῴζουσα ἐκ κινδύνων, καὶ σκέπουσα ἐκ παντοίων, πειρατηρίων χαλεπῶν, Ἄννα πάνσεμνε τοὺς δούλους σοῦ.

*Καὶ εὐθὺς τὸ Προκείμενον.*

Ἀγαλλιάσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.(δίς)

Στίχ. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

Ἀγαλλιάσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Εὐαγγέλιον.

Ἐκ τοῦ κατά Λουκᾶν (ή΄. 16-21).

Εἶπεν ὁ Κύριος· Οὐδείς, λύχνον ἅψας, καλύπτει αὐτόν σκεύει, ἤ ὑποκάτω κλίνης τίθησιν· ἀλλ᾽ ἐπί λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τό φῶς. Οὐ γάρ ἐστι κρυπτόν, ὃ οὐ φανερόν γενήσεται οὐδέ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καί εἰς φανερόν ἔλθη. Βλέπετε οὔν πώς ἀκούετε ὅς γάρ ἄν ἔχη, δοθήσεται αὐτῶ, καί ὅς ἄν μή ἔχη ,καί ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτού Παρεγένοντο δέ πρός αὐτόν ἡ Μήτηρ καί οἱ ἀδελφοί αὐτοῦ, καί οὐκ ἠδύναντο συντυχεῖν αὐτῶ διά τόν ὄχλον. Καί ἀπηγγέλθη αὐτῶ, λεγόντων ἡ μήτηρ σου καί οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σέ θέλοντες. Ὁ δέ ἀποκριθεῖς εἶπε πρός αὐτούς. Μήτηρ μου καί ἀδελφοί σου εἰσίν, οἱ τόν λόγον τοῦ Θεοῦ ἀκούοντες, καί ποιοῦντες αὐτόν.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Ταῖς τῆς σῆς Προγόνου, πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, ἐλεῆμον, ἐξαλεῖψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Ἐλέησὸν μὲ ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Μὴ παρίδῃς ἔνδοξε, τὴν ἀνυμνοῦσαν σὲ πίστει, καὶ πόθῳ γεραίρουσαν, καὶ ἀδιαλείπτως σὲ μεγαλύνουσαν, ἱερὰν ποίμνην σου, ἀλλ' αὐτὴν Θέοφρον, ἀκοιμήτῳ προστασίᾳ σου, περιχαράκωσον, καὶ διαπαντὸς περιτείχισον, καὶ πᾶσαις ἀνεπίβατον, ταῖς ἀντικειμέναις δυνάμεσιν, ἀνάδειξον ταύτην, πανεύφημε προμῆτορ τοῦ Χριστοῦ, ἐν σοὶ γὰρ αὔτη κρατύνεται, καὶ αὐχεῖ καὶ σῴζεται.

Ὁ Ἱερεύς:

Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σοῦ· ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καί καταπεμψον ἐφ' ἡμᾶς τά ἐλέη σου τά πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ Τιμίου καί

Ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἰκεσίαις τοῦ Τιμίου καί Ἐνδόξου Προφήτου, Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· ὧν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμμονος, πατριαρχῶν Ἀλεξανδρείας. Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τύρωνος καί Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί ’Ἄννης. καί πάντων σου τῶν Ἁγίων. Ἰκετεύομεν σέ, μόνε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καί ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ'.
Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Πειρασμῶν ἀνηκέστων, συμφορῶν ἀδοκήτων Ἄννα θεόκλητε, μαστίγων πολυτρόπων, δεινῶν ὀλεθροτόκων, ῥῦσαι πάντας τοὺς ψάλλοντας, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἰ.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Δυσμενείας παντοίας, καὶ δεινῆς προσδοκίας, καὶ πάσης ἔνδοξε, βουλῆς κακομηχάνου, περίσωζε τοὺς πίστει, εἰσαεῖ ἀναμέλποντας, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἰ.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Ψυχικὴν εὐεξίαν, καὶ σωμάτων τὴν ῥῶσιν, πᾶσι θεόληπτε, παράσχου τοὺς ἐν πίστει, τῷ θείῳ σοῦ τεμένει, προσιοῦσι καὶ ψάλλουσιν· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτόκιον.

Σηπεδόνας ψυχῆς μου, καὶ παθῶν ἀλγηδόνας, θᾶττον ἀφάνισον, καὶ ὅλον μὲ Παρθένε, ῥοπὴ τοῦ σου ἐλέους, σεσωσμένον ἀνάδειξον, ὅπως ὑμνῶ σου ἀεί, τάς θείας δυναστείας.

Ὠδὴ η'. Τὸν Βασιλέα.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Τοὺς ἐκ παντοίων, ἀνιαρῶν τρυχομένους, καὶ δεινοῖς ἀεὶ ἐταζομένους, λύτρωσιν θέοφρον, παράσχου εἰς αἰῶνας.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Τῆς τῶν δαιμόνων, πανωλεθρίου μανίας, καὶ ἀνδρῶν ἐχθίστων ἀπηνείας, πρόφθασον καὶ ῥῦσαι, τοὺς σοῦς σεμνὴ οἰκέτας.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Τοὺς ἐν ποικίλοις, πειρατηρίοις τοῦ βίου, πολυτρόπως πάντοτε θέοφρον, περιστατουμένους, σῷζε εἰς αἰῶνας.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Τοὺς πεποιθότας, ἀνενδοιάστως Παρθένε, τῇ πανσωστικῇ σου προστασίᾳ, ἀνεπηρεάστους, συντήρει εἰς αἰῶνας.

## Ὠδὴ θ΄.

## Ἦχος πλ. δ΄.

## Κυρίως Θεοτόκον...

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Τοὺς πίστει προσκυνοῦντας, τὴν σεπτὴν σορόν σου, καὶ ἐμφερείας τὸ θεῖον ἐκτύπωμα, σκέπε καὶ φρούρει, καὶ σῷζε Ἄννα φιλάγαθε.

Ἁγία Θεοπρομῆτορ Ἄννα πρέσβευε ὑπὲρ ἡμῶν

Ἐκ θείων ὑψωμάτων, μὴ ἐλλείπης ὅλως, θέοφρον Ἄννα ἡμᾶς ἐποπτεύουσα, καὶ τάς ἰάσεις ἀφθόνως πᾶσι βραβεύουσα.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.

Μὴ παύσῃ συντηροῦσα ταύτην σοῦ τὴν ποίμνην, ἐκ πολυπλόκων σκανδάλων τοῦ ὄφεως, καὶ ἐξ ἀνθρώπων ἀδίκων, Ἄννα πανθαύμαστε.

Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

### Θεοτοκίον.

Ἐλπίς μου γλυκυτάτη, καὶ ἀναψυχή μου, καὶ τῆς ψυχῆς μου χαρὰ Παναγία, χαρὰς ἐκείνης μὲ δεῖξον πάναγνε μέτοχον.

Καὶ εὐθὺς ψάλλομεν τὰ Μεγαλυνάρια

Ἦχος πλ. α΄ Νη Γα




Καὶ τὰ μεγαλυνάρια.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Ἄνναν τὴν Ἁγίαν, τὴν προμήτορα τοῦ Χριστοῦ, τὴν ἀξιωθεῖσαν, γεννῆσαι τὴν Παρθένον, τὴν μόνην Θεοτόκον καὶ Παναμώμητον.

Χαρίτων ὡς ἔμπλεως ἀγαθή, χαρίτωσον πάντας τοὺς ἐν πίστει σὲ ἀκλινεῖ, ἀνυμνολογούντας, καὶ πόθῳ προσκυνοῦντας, τῆς θείας κληρουχίας πάντας ἀξίωσον.

Τὸ θεῖον ἀγλάϊσμα τῶν πιστῶν, δικαίων τὸ κλέος, προπατόρων τὴν καλλονήν, τὴν ἐκλελεγμένην, καὶ κεχαριτωμένην, Προμήτορα τοῦ Λόγου, πάντες τιμήσωμεν.

Χαίροις χαριτώνυμε ἀληθῶς, χαίροις ἡ Προμήτωρ, τοῦ τῶν ὅλων Δημιουργοῦ, χαίροις ἡ τὰ κάτω, συνάψασα τοῖς ἄνω, τῷ θείῳ τοκετῷ σου, Ἄννα πανόλβιε.

Ταῖς θεοφεγγέσι μαρμαρυγαῖς, ἐκλελαμπρυσμένη, καὶ τοῦ κάλλους τοῦ νοητοῦ, κατεμφορουμένη, Θεοπρομῆτορ Ἄννα, μνημόνευε τῶν πόθῳ, μνημονευόντων σοῦ.

Τοὺς περιπολούντας διηνεκῶς, τῷ θείῳ ναῷ σου, καὶ ὑμνούντας ἀνελλιπῶς, σοῦ τάς δυναστείας, Προμῆτορ τοῦ Κυρίου, παντοίας ἐπηρείας, πάντας διάσωσον.

Τὸν δεκαεξάριθμον καὶ σεπτόν, δῆμον τῶν Ὁσίων, εὐφημήσωμεν εὐλαβῶς, χαίρετε βοῶντες, τοῦ Ἄθω σεπτὰ κρίνα, καὶ Σκήτης τῆς Προγόνου Χριστοῦ οἱ φοίνικες.

Τὸ Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ

## Ἡ Κοίμησις τῆς Ὑπεραγίας Θεοτόκου

Παρέστης Παρθένε ἐκ δεξιῶν, τοῦ Παμβασιλέως, ὡς Βασίλισσα τοῦ παντός, περιβεβλημένη, ἀθανασίας αἴγλην, ἀρθεῖσα μετὰ δόξης, πρὸς τὰ οὐράνια.




εις το σω θη ναι η μα α α ας

Ὁ Ἀναγνώστης

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ´)

Δόξα. Καὶ νῦν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα. Καὶ νῦν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καί ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Ἀπολυτίκιον. Τῆς Ἁγίας. Ταχὺ προκατάλαβε.

Ἦχος Δι



Ὁ Ἱερεύς· Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τὸ μέγα ἔλεὸς Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός· Κύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· Ἔτι δεόμεθα ὑπερ τοῦ Ἀρχιεπισκόπου (......) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ Χορός· Κύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Ὁ Χορός· Κύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ (ὀνόματα).

Ὁ Ἱερεύς· Ἔτι δεόμεθα ὑπέρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ

τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ΄ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· **Κ**ύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· **Ἔ**τι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· **Κ**ύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· **Ἐ**πάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.

Ὁ Χορός· **Κ**ύριε ἐλέησον. (γ΄)

Ὁ Ἱερεύς· **Ὅ**τι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· **Ἀ**μήν.

**Η ΑΠΟΛΥΣΙΣ:** Ὁ Ἱερεύς· Σοφία·

Ὁ Ἀναγνώστης· Εὐλόγησον.

Ὁ Ἱερεύς· Ὁ ὢν εὐλογητός Χριστός ὁ Θεός ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων. .

Ὁ Ἀναγνώστης· Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τήν ἁγίαν καί ἀμώμητον πίστιν τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, σύν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης· Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὁ Ἱερεύς· Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ Ἀναγνώστης· Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς· Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων,

ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τῆς ἡμέρας) καὶ πάντων τὸν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σὲ νεκρόν.

Πάντων μνημονεύεις ἀγαθή, τῶν μνημονευόντων σοῦ πόθῳ, καὶ εὐφημούντων σέ, καὶ ἐκλιπαρούντων σὲ Θεοπρομῆτορ θερμῶς, καὶ πρὸς σὲ μετὰ πίστεως, ἀεὶ ἀφορώντων, καὶ πρὸς τὴν ἀντίληψιν καταφευγόντων τὴν σὴν πάσης οὖν ἡμᾶς ἐπηρείας, νόσων συμφορῶν καὶ κινδύνων, καὶ δεινῶν ἁπάντων ἐλευθέρωσον.

Ἕτερον ὅμοιον.

Πάντες σοὶ προσπίπτομεν πιστῶς, πάντες σὲ θερμῶς δυσωποῦμεν, Ἄννα φιλεύσπλαγχνε, πάντας ἡμᾶς λύτρωσαι τῇ μεσιτείᾳ σου, πολυτρόπων κακώσεων, μελλόντων κινδύνων δεινῶν ἐπιθέσεων, καὶ ἀλγηδόνων πικρῶν, καὶ ἀνιαρῶν ἐπαλλήλων, καὶ ἀρρωστημάτων ποικίλων, καὶ πολυειδῶν ἑτέρων θλίψεων.

Ἕτερον ὅμοιον.

Πάσης τῶν ἐθνῶν ἐπιδρομῆς, πάσης τῶν ἐχθρῶν κακουργίας, πάσης στενώσεως, πάσης περιστάσεως, πάσης κακώσεως, πάσης ἄλλης συμπτώσεως, παντοίας ἀνάγκης, ἐκ πάσης τε θλίψεως, καὶ προσβολῆς τοῦ ἐχθροῦ, καὶ ἐκ πολυτρόπων σκανδάλων, καὶ πειρατηρίων τοῦ βίου, ῥῦσαι τοὺς σοὺς δούλους Ἄννα ἔνδοξε.

Ἦχος β΄.

Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β΄.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

Ὁ Ἱερεύς: Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.